ΚΡ. τὰ κοινὰ χαίρων οὐ δίκαια δρᾷ μόνος.
ΙΩΝ. οἴμοι· προσῳδὸς ἡ τύχη τὠμῷ πάθει.
ΚΡ. καὶ σ᾽, ὦ ξέν᾽, οἶμαι μητέρ᾽ ἀθλίαν ποθεῖν.
ΙΩΝ. καὶ μή γ᾽ ἐπ᾽ οἶκτόν μ᾽ ἔξαγ᾽ οὗ ᾽λελήσμεθα.
ΚΡ. σιγῶ· πέραινε δ᾽ ὧν σ᾽ ἀνιστορῶ πέρι.
ΙΩΝ. οἶσθ᾽ οὖν ὃ κάμνει τοῦ λόγου μάλιστά σοι;
ΚΡ. τί δ᾽ οὐκ ἐκείνῃ τῇ ταλαιπώρῳ νοσεῖ;
ΙΩΝ. πῶς ὁ θεὸς ὃ λαθεῖν βούλεται μαντεύσεται;
ΚΡ. εἴπερ καθίζει τρίποδα κοινὸν Ἑλλάδος.
ΙΩΝ. αἰσχύνεται τὸ πρᾶγμα· μὴ ᾽ξέλεγχέ νιν.
ΚΡ. ἀλγύνεται δὲ χἡ παθοῦσα τῇ τύχῃ.
ΙΩΝ. οὐκ ἔστιν ὅστις σοι προφητεύσει τάδε.
ἐν τοῖς γὰρ αὑτοῦ δώμασιν κακὸς φανεὶς
Φοῖβος δικαίως τὸν θεμιστεύοντά σοι
δράσειεν ἄν τι πῆμ᾽· ἀπαλλάσσου, γύναι·
τῷ γὰρ θεῷ τἀναντί᾽ οὐ μαντευτέον.
εἰς γὰρ τοσοῦτον ἀμαθίας ἔλθοιμεν ἄν,
εἰ τοὺς θεοὺς ἄκοντας ἐκπονήσομεν
φράζειν ἃ μὴ θέλουσιν ἢ προβωμίοις
σφαγαῖσι μήλων ἢ δι᾽ οἰωνῶν πτεροῖς.
ἃν γὰρ βίᾳ σπεύδωμεν ἀκόντων θεῶν,
ἀνόνητα κεκτήμεσθα τἀγάθ᾽, ὦ γύναι·
ἃ δ᾽ ἂν διδῶσ᾽ ἑκόντες, ὠφελούμεθα.
ΧΟ. πολλαί γε πολλοῖς εἰσι συμφοραὶ βροτῶν,
μορφαὶ δὲ διαφέρουσιν. ἓν δ᾽ ἂν εὐτυχὲς
μόλις ποτ᾽ ἐξεύροι τις ἀνθρώπων βίῳ.
ΚΡ. ὦ Φοῖβε, κἀκεῖ κἀνθάδ᾽ οὐ δίκαιος εἶ
εἰς τὴν ἀποῦσαν, ἧς πάρεισιν οἱ λόγοι.
σὺ δ᾽ οὔτ᾽ ἔσωσας τὸν σὸν ὃν σῶσαί σ᾽ ἐχρῆν,
οὔθ᾽ ἱστορούσῃ μητρὶ μάντις ὢν ἐρεῖς,

---

361. ᾽λελήσμεθα] Dobraeus, λελήσμεθα libri. 368. δὲ χἡ] Blomfieldius, δέ γ᾽ ἡ libri. 370. ΚΡ. libri. 375. ἄκοντας] Brodaeus, ἑκόντας libri. 378. ἃν] Scaliger, ἄν libri. 379. ἀνόνητα] Stephanus, ἄκοντα libri. 381. βροτοῖς Stobaeus, βροτῶν libri. 382. μορφαῖς Stobaeus. 383. βίῳ B βίον (ω) C βίον Stobaeus. 386. σὺ δ᾽ B σύ γ᾽ C